2788

Γ2

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΕΠΙΣΤΟΛΙΜΑΙΑ

ΠΕΡΙ

# ΙΕΡΟΓΛΥΦΙΚΩΝ

## *ΓΡΑΜΜΑΤΩΝ ΔΙΑΤΡΙΒΗ*

3

ΠΑΡΑ


Κ. ΣΙΜΩΝΙΔΟΥ ΔΙΔΑΚΤΟΡΟΣ

ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ Κ.Τ.Λ. Κ.Τ.Λ. Κ.Τ.Λ.


ΟΣ ΚΑΙ

ΤΩΙ ΚΥΡΙΩΙ Κ<sup></sup>ΩΙ. ΙΩΣΗΠΠΩΙ ΜΑΫΕΡΩΙ

ΑΝΔΡΙ ΠΑΙΔΕΙΑΙ ΚΕΚΟΣΜΗΜΕΝΩΙ ΠΑΝΤΟΙΑΙ

ΚΑΙ

ΜΕΛΕΙ ΔΙΑΦΟΡΩΝ ΕΤΑΙΡΙΩΝ

Κ.Τ.Λ. Κ.Τ.Λ. Κ.Τ.Λ.

ΕΙΣ ΦΙΛΙΑΣ ΑΪΔΙΟΥ ΤΕΚΜΗΡΙΟΝ ΑΝΑΤΙΘΗΣΙΝ.


ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ 428
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ


---


ΕΥΡΙΣΚΕΤΑΙ ΕΝ ΜΕΝ ΤΩΙ ΛΟΝΔΙΝΩΙ ΠΑΡΑ ΤΩΙ ΚΥΡΙΩΙ

ΔΑΥΪΔ ΝΟΥΤΤΙΩΙ 270, ΣΤΡΑΝΔ,

ΕΝ ΔΕ ΤΗΙ ΛΙΒΕΡΠΟΥΛΗΙ ΠΑΡΑ ΤΩΙ ΚΥΡΙΩΙ Α. ΧΟΛΔΕΝΙΩΙ.

ΑΩΞ.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Τὰς ἐπιδόσεις ὁρῶμεν γιγνομένας καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων, οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν, ἀλλὰ διὰ τοὺς ἐπιχειροῦντας καὶ τολμῶντας ἀεί τί κινεῖν τῶν μὴ καλῶς ἐχόντων.*

**ΙΣΟΚΡΑΤΗΣ.**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΕΡΡΙΚΟΣ Δ. ΓΟΥΙΛΙΕΛΜΟΣ

ΚΩΝΣΤΑΝΤΙΝΩΙ ΣΙΜΩΝΙΔΗΙ

*Ἀνδρὶ φιλτάτῳ εὖ πράττειν.*

ΤΗΝ πρὸς τὸν μουσοπόλον Ι. ΜΑΫΕΡΟΝ (J. Mayer) περὶ ἱερογλυφικῶν λίαν ἀξιόλογον ἐπιστολιμαίαν διατριβήν σου ἀσμένως ἐκομισάμην, καὶ ἐπισταμένως ἀνέγνων, καὶ τὸ τῆς ἑρμηνείας ἐπιτυχὲς ἐχειροκρότησα· τὸ δὲ τῶν ἐπιχειρημάτων εὔστοχον, ὥς περ καὶ τὸ τῶν ἀποδείξεων μέγα κῦρος λίαν ἐθαύμασα, καὶ ἔνθους ἀπὸ χαρᾶς γενόμενος, ἐφώνησα κἀγὼ φίλων ἐνώπιον ὅ,τι περ καὶ ἡ γυνὴ ἐκείνη, ἡ τὴν φωνὴν ἐπάρασα καὶ τῷ Κυρίῳ ἡμῶν εἰποῦσα τόδε· "Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας" (Λουκ. ΙΑ′ 27). Πάμπολα γαρ ἄχρις ἡμέρας ἀγνοούμενα μανθάνομεν ἐκ τῶν γραφομένων σου· ὅτι ἀγχινοίᾳ προικισθεὶς οὐ τῇ τυχούσῃ, καὶ πολλὰ παρελπίδας ἐπιτυχὼν περὶ τῶν ἱερογλυφικῶν βοηθήματα τὸ μυστήριον τῶν αἰώνων ἤδη παραδόξως ἀνελίσσεις, καὶ τὸ χάος τῶν ἀπωτάτων ἱστορικῶν αἰώνων νυνὶ ἀναπληροῦται, δι᾽ ὧν ἡμῖν παρέχεις ἱστορικῶν πηγῶν.

Θάρσει οὖν, Σιμωνίδη, ὅτι τὸν καλὸν ἀγωνιζόμενος ἀγῶνα ἐξομαλίσεις τὴν ὁδὸν τῆς δόξης σου, ἣν οἱ καθ' ἡμᾶς Αἰζωνιεῖς[1] δισδιάβατον κατόρθωσαν πρὸ πολλοῦ γενέσθαι τῇ ἀπεράντῳ ψευδολογίᾳ καὶ τῇ ἀνηκούστῳ σοφιστείᾳ· οἴδασι γὰρ οὗτοι, ὅτι καταδειχθήσεται ἡ ἑαυτῶν φενάκη τῇ παρουσίᾳ τοῦ φωτὸς τῆς ἀληθείας· "Πικρὸν γάρ ἐστι σφόδρα (βοᾷ ὁ Διοδέστης) τὸ ἀληθὲς, καὶ ἀηδὲς τοῖς ἀνοήτοις· τὸ δὲ ψεῦδος γλυκὺ καὶ προσυνές· ὥς περ γε οἶμαι καὶ τοῖς νοσοῦσι τὰ ὄμματα τὸ μὲν φῶς ἀνιαρὸν ὁρᾶν, τὸ δὲ σκότος ἄλυπον καὶ φίλον καὶ οὐκ ἐῶν βλέπειν."

Σπεῦσον τοίνυν τὴν τῆς διατριβῆς σου δημοσίευσιν· παρέξει γὰρ αὕτη τοῖς σοφοῖς ἀφθονίαν σκοπίμων ἐπιχειρημάτων, οὐ μόνον ὑπὲρ σοῦ, ἀλλὰ καὶ περὶ τῆς ὀρθότητος τῆς ἐννοίας τῶν ἱερογλυφικῶν, ἅμα δὲ καὶ πολλὰ πρὸς καταστολὴν τῆς ἰταμότητος τῶν τὴν ἐπιστήμην πρὸ πολλοῦ μετερχομένων ὡς ἀπάτην τῇ πήξει θεμελίου δοκούσης ἀληθείας. "Ψεῦδος γάρ, φησιν ὁ Σευηριανὸς, ὅταν θέλῃ πιστευθῆναι, ἐὰν μὴ πήξῃ θεμέλιον δοκούσης ἀληθείας οὐ πιστεύεται." Τοῦτο δὲ οὗτοι, δυστυχῶς, κατορ-

[1] "Αἰζωνιεὺς ἄλλος: Αἰζωνῆς δῆμος ἦν φυλῆς τῆς Κεκροπίδος· ἐκωμωδοῦντο δὲ εἰς βλασφήμους, ἀφ' οὗ καὶ τὸ κακῶς λέγειν αἰζωνεεύσθαι ἔλεγον. Μένανδρος ἐν Κανιφόρῳ. Πλάτων δὲ ἐν τῷ περὶ ἀνδρείας φησίν· 'Οὐδὲν ἐρῶ πρὸς ταῦτά γε ἔχων εἰπεῖν, μή με εἴπῃ Αἰζωνέα εἶναι· ἤτοι βλάσφημον.' Ἐντεῦθεν ἡ παροιμία." Ἀποστόλης ὁ Βυζάντιος ἐν τῇ τῶν παροιμιῶν συναγωγῇ. (Προσθήκη τοῦ ἐκδότου).

θώσαντες, οὐκ ὀλίγους ἀπεπλάνησαν· οἱ μάλιστα δυσκόλως ἤδη τὰς τῶν ὀρθοφρονούντων σοφὰς παρατηρήσεις ἀκούουσιν· ὅτι, κατὰ τὸν Ἰσίδωρον, "Τὸ ψεῦδος ἐν πρώτοις λεχθὲν πλείονα πίστιν ἔχει παρὰ τὴν ἐν τῷ δευτέρῳ λόγῳ δεικνυομένην ἀλήθειαν."

Τούτου δ' ἕνεκα δεῖ ἀνασκευασθῆναι τὰ γραφόμενα τούτων, ὅτι οὐδὲν κακὸν ῥᾳδίως ἀπόλλυται· πολλὰ γὰρ ἔγραψαν οἱ γεννάδες οὗτοι περὶ ἱερογλυφικῶν, ἅπερ καίτοι μὴ παρέχοντα τοῖς ἐντυγχάνουσιν οὐδεμίαν, πρὸς ὃν ἐγράφησαν σκοπὸν, βοήθειαν, κατέχουσιν ὅμως παρὰ τοῖς ἀκρίτοις κοίτην δῆθεν ἐπιστημονικήν! Ἐπειδήπερ, ὡς ἔοικεν, ἔχουσι τὸ πλεονέκτημα τοῦ ἀπατᾷν καὶ κατασκοτίζειν τοὺς ἀναγνώσας τῇ ἀπεράντῳ εἰκαστικῇ βαττολογίᾳ, ἐν ᾧ αἱ ὑμέτεραι περὶ τούτου διατριβαὶ οὐ μόνον πολλὰ (ἄνευ ὑπερβολῆς) δι' ὀλίγων ἑρμηνεύουσί τε καὶ διδάσκουσιν, ἀλλὰ καὶ τὸν τρόπον τῆς ἑρμηνείας παρέχουσιν, ἅμα δὲ καὶ τὸν λόγον τῶν ἀποδείξεων πρόχειρον ἔχουσιν· ὅτι τὴν ἀλήθειαν ἔχεις διδάσκαλον· "Ὁδοῦ γὰρ καὶ ἀληθείας χαλεπὸν ἀποπλανηθῆναί," φησιν ὁ Μένανδρος.

Ἀλλὰ ταῦτα μὲν πάντα σὺ κάλλιον ἐμοῦ οἶδας· ὅθεν καὶ προτρέπω σε, ἵνα εἰς τὸ στάδιον γενναιότερον εἰσέλθῃς καὶ τὰ τῆς ἀληθείας ἁγνὰ καὶ σοφὰ λίαν λόγια διασαλπίσῃς. Καὶ γὰρ τὸ σιγᾷν τὴν ἀλήθειαν, κατὰ τὸν Εὐάγριον, χρυσόν ἐστι θάπτειν."

Κατὰ δὲ τὸν Δημόκριτον "Χρὴ τὴν μὲν εὐσέβειαν φανερῶς ἐνδείκνυσθαι, τῆς δὲ ἀληθείας θαῤῥοῦντες προΐστασθαι." Ἔῤῥωσό καὶ μέμνησο ἀεὶ τοῦ σοῦ Ἑῤῥίκου εἰς Τεργέστην μεταβαίνοντος αὔριον, καὶ ἐκεῖθεν εἰς Ἀλεξάνδρειαν τῆς Αἰγύπτου· ἑπτὰ γὰρ μόνας ἡμέρας διαμένω ἐνταῦθα καὶ τὸ τῆς Πρωσσιακῆς ἀτμοσφαίρας βάρος οὐ δύναμαι βαστάζειν, μᾶλλον δὲ τὸ τοῦ πολιτεύματος τῆς πόλεως Βερολίνου σκολιόν.

*Ἐν Βερολίνῳ*
*τῇ ΚΘ' Ἰουνίου ΑΩΞ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ.......................
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

ΙΩΣΗΠΠΩΙ ΜΑΫΕΡΩΙ ΤΩΙ ΦΙΛΤΑΤΩΙ

ΣΙΜΩΝΙΔΗΣ ΠΛΕΙΣΤΑ ΧΑΙΡΕΙΝ.

Περιχαρῶς, ὦ Μουσηγέτα, τὴν τῶν βιβλίων ἐδεξάμην σὴν ἀξιόλογον δωρεὰν, καὶ τὰ μάλιστα εὐχαριστῶ σοι· οὐχ ἧττον δὲ, καὶ διὰ τὴν εἰς ὃ ἱδρύσατε Μουσεῖον ἄδειαν εἰσαγωγῆς. Καὶ γὰρ, ψυχαγωγίας χάριν, ἐν αὐτῷ δι᾽ αὐτῆς γενόμενος, πολλὰ περιεργείας ἄξια καὶ πάμπαν ἀγνοούμενα ἔμαθόν τε καὶ ἐσημείωσα, ἐξ ὧν Αἰγυπτιακῶν κειμηλίων ἐν τῷ σῷ σπουδαίῳ ἱδρύματι σὺν ἄλλοις ἄλλων ἐθνῶν πολυτίμοις λειψάνοις ἀπεθησαυρίσθησαν· ἅπερ πολλαχόθεν τῆς γῆς τῇ σῇ ἀκαμάτῳ καὶ λίαν ἀξιεπαίνῳ Πτολεμαϊκῇ, ὄντως, προνοίᾳ καὶ ἁδραῖς ἰδίαις δαπάναις ἐν αὐτῷ συνηθροίσθησαν, ὡς εἰς κιβωτὸν σωτηρίας διασωθέντα πρὸς ὄφελος τοῖς περὶ τὴν σπουδὴν τῶν ἀρχαίων καταγιγνομένοις καὶ πάσης τῆς ἀνθρωπότητος ἐν γένει. Τοῦτο γὰρ καὶ μόνον, ὡς ἔοικεν, ἔχων σὺ ἐν νῷ ἀεὶ, καὶ χρόνον πολὺν καὶ χρυσὸν οὐκ ὀλίγον ταῖς Μούσαις ἀφθόνως προσήγαγες ἐπὶ τοῦ εὐεργετικοῦ λίαν αὐτῶν βωμοῦ τὰ πάντα ἀσμένως θυσιάσας. Οὐ μὴν δὲ ἀλλὰ καὶ εἰσέτι, ὡς καλῶς οἶδα, οὐ παύεις ὑπὲρ τῆς ἐπιστήμης σθένει παντὶ θεραπεύων αὐτὰς, μουσηγετου ἀληθῶς πρόνοιαν ἐν πᾶσι, καὶ πάντοτε δεικνύων· ὅτι, οἶδας πάντως, ὡς οἱ τῶν Μουσῶν ἀληθεῖς λειτουργοὶ ἀποθνήσκουσιν οὐδέποτε, ἀλλ᾽ ἅμ᾽ αὐταῖς βασιλεύουσιν

εἰς αἰῶνας, ὑπὸ πάντων ἀνθρώπων ὡς εὐεργέται αὐτῶν δικαίως λατρευόμενοι. Διόπερ λέγω σοι κἀγὼ ὁ ταπεινὸς τὸ, ζῆθι ἐς λυκάβαντας, ὦ ἀνδρῶν ἄριστε καὶ ἑταίρων, εὐεργετῶν τὴν ἀνθρωπότητα τῇ τῶν ἀθανάτων Μουσῶν θεραπείᾳ. Καὶ ταύτην μὲν τὴν εὐχὴν ἀπὸ καρδίας εὐχόμενός σοι, προσφέρω σοι ἐν ταὐτῷ καὶ ἑρμηνείαν πέντε Αἰγυπτιακῶν λειψάνων γράμμασιν ἱεροῖς πεπυκασμένων· οἶδα γὰρ ὅτι ἐνδιαφέρει μεγάλως τοῦτο τὸν μουσόληπτον Ι. ΜΑΫΕΡΟΝ.

Ἔστι τοίνυν τὸ πρῶτον τούτων τεμάχιον λίθου κοκκωτοῦ, φέρον ἓν καὶ μόνον πλαίσιον τόδε :—



Α΄

Τὸ πλαίσιον δὲ τοῦτο τρία, ὡς καθορᾶται, περιέχει σύμβολα ἐκ τῶν μάλα συμβολικῶν, ἅπερ, δυστυχῶς, οἱ περὶ τὰ τοιαῦτα ἀδαεῖς φωνητικὰ!!! γράμματα δογματίζοντες εἶναι, Ἀμένωφιν!!! ἢ Ἀμένοχιν τρίτον!!! λέγουσι σημαίνειν ταῦτα· μηδένα ἔχοντες τῶν πάλαι καὶ πρόπαλαι σοφῶν συμμαρτυροῦντα αὐτοῖς, πλὴν τοῦ χθιζοῦ Γάλλου Σαμπολλιῶνος καὶ τοῦ ἀντιπάλου αὐτοῦ Λεψίου τοῦ Πρώσσου, τῶν τὰ γελοῖα εἰκοτολογήματα γραψάντων, δι᾽ ὧν μάλιστα οἱ ὀπαδοὶ ἀμφοτέρων τούτων τὸν τῆς ἀρχαιολογίας ναὸν καθ᾽ ἑκάστην ἀναιδῶς κατασπηλοῦσι βαττολογίαις, ἵνα μὴ χεῖρόν τι εἴπω. Ὁ δὲ Χένωφις, ὁ Πανοπολιτῶν ἀρχιερεὺς ἐκεῖνος ἀποδίδων τὸ πλαίσιον τοῦτο τῷ ΥΠΕ'' βασιλεῖ, τῷ καὶ Ἀνούφει καλουμένῳ, φησὶν ὡς, οὐχὶ ὀνόματος σημαντικόν ἐστι τοῦτο, ἀλλὰ ῥήσεως μεγαλοπρεποῦς ἐκφαντορικὸν τῆς δε·

"Πέρατος ἄτερ τὸ τῆς Ἀληθείας κράτος."

Δηλοῖ γὰρ ὁ μὲν κύκλος, τὸ μηδὲν ὅλως πέρας ἔχον· τὸ δὲ κατὰ μέσον σύμβολον τῆς θεᾶς Ἀληθείας ἔστι γνώρισμα· τὸ δὲ τρίτον ἀγκάλας εἰκονίζον, κράτος ἐμφαίνει. Καὶ ἰδοὺ τί αὐτὸς οὗτος ὁ Χένωφίς[1] φησι περὶ τούτου λέξεσιν αὐταῖς.

. . . . " ΨΟΥΧΝΕΩΣ οὖν εἰς Θεοὺς μεταστάντος Ἄνουφθις Μενθήφρεως παῖς τὴν ἀρχὴν ἐκδέχεται ἐνιαυτοῖς ἑπτὰ καὶ τριάκοντα[2], ὃς καὶ διαιωνίσθη τῷ ῥήματι τῷ δε :—



" Φράζει δὲ τοῦτο τάδε· ' Πέρατος ἄτερ τὸ τῆς Ἀληθείας κράτος.' Κύκλῳ γὰρ τὸ ἀπέραντον σημαίνομεν, τὴν δὲ ἀλήθειαν γυναικὶ παρεικάζομεν φερούσῃ ἐπὶ τοῦ τῆς κεφαλῆς καλύμματος τὸ τῆς δικαιοσύνης σύμβολον, ὅπερ ἐστὶ στρουθοκαμήλου πτίλον. Διδόαμεν δὲ αὐτῇ φέρειν ταῖς χερσὶ καὶ τὸ τῆς ἀληθοῦς θεότητος ἔμβλημα, ἀλλ' οὐ πάντοτε· παραλείπεται γὰρ πολλάκις, ὥς περ καὶ ἐνταῦθα. Τὸ δὲ κράτος ἐσθ' ὅτε ἀγκάλαις σημαίνομεν."

Ἐν δὲ τῷ Οὐρανίῳ τάδε ἱστορεῖται περί τε τοῦ

[1] Χένωφις Ὥρου ὁ Πανοπολίτης, λέγεται γεννηθῆναι κατὰ τὸ τρίτον ἔτος τῆς Ἀμυρταίου βασιλείας, ὃς καὶ τὴν Πανοπολιτῶν κατέσχεν Ἱερατείαν. ἦν δε Ἀμυρταίου θυγατριδοῦς, οὗ καὶ τὰς πράξεις μάλιστα ἐξιστόρησε γράμμασιν ἱεροῖς ἐπὶ στήλης γράψας αὐτὰς, καὶ στήσας αὐτὴν ἐν τοῖς ἀδύτοις τοῦ κατὰ Πανόπολιν ἱεροῦ τοῦ Ἡρακλέους. Ἔγραψε δὲ οὗτος καὶ ἄλλα μὲν πολλὰ, μάλιστα δὲ καὶ ἀρχιερέων ἀναγραφάς· πρὸς δὲ καὶ περὶ καθιερωμένων ἀποφθεγμάτων δημώδει γραφῇ, οἷς καὶ Χαιρήμων ἐχρήσατο. (Διονύσιος ὁ Μάγνης ἐν τῷ περὶ ὁμωνύμων ποιητῶν καὶ συγγραφέων Ἀπανθήσματι).

[2] Ὁ ἐνιαυτὸς ἐνταῦθά ἐστι τέσσαρσι μησὶν ἴσος, ὥς περ Οὐράνιος ἔν τε τῇ πρώτῃ βίβλῳ καὶ τῇ τρίτῃ " τῶν βασιλικῶν φησιν ἀναγραφῶν." ταὐτὸ δὲ τοῦτο τὸ χρονικὸν σύστημα καὶ Χένωφις ἀκολουθεῖ, καθαπερεὶ καὶ οἱ τὰς βασιλικὰς τῶν Αἰγυπτίων ἀναγραφὰς συνταξάμενοι. Ὁ δὲ Ἐρατοσθένης καὶ ὁ Ἀπολλόδωρος καὶ ὁ Ἀφρικανὸς καὶ ἄλλοι συχνοὶ κατὰ το παρ' ἡμῖν ἐπικρατοῦν ἡλιακὸν σύστημα τὰ ἔτη ἀριθμοῦσιν.

Γ2

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

“ ΧΕΝΩΦΙΣ Ὥρου ὁ Πανοπολίτης καὶ Πανοπολιτῶν ἀρχιερεὺς, Ἀμυρταίου δὲ θυγατριδοῦς τοῦ βασιλέως γράφει τάδε·

“ Εἰώθασιν ἐκ παλαιοῦ οἱ πατέρες ἡμῶν διαιωνίζειν τὰ ὀνόματα τῶν βασιλέων αὐτῶν, καθάγε καὶ τὰ τῶν ἀρχιερέων καὶ τὰ τῶν ἡγουμένων πάσης στρατιᾶς τοῖς οἷς οὗτοι κατ' ἐξαίρεσιν ἐχρῶντο τοῦ Ἑρμοῦ ἀποφθέγμασι· μᾶλλον δὲ τοῖς ἑαυτῶν ὕπερθεν τῆς ἰδέας ἑκάστου διαιωνιζομένου, γράφοντες αὐτὰ γραφῇ ἱερᾷ, τὴν ῥοπὴν τοῦ εἰκονιζομένου καταδεῖξαι διὰ τούτου βουλόμενοι. Καὶ γὰρ Μεσράχαμιν τὸν πατριάρχην ἡμῶν καὶ πρῶτον τῆς Αἰγύπτου οἰκιστὴν εἰκονίσας Ἀβαθὰρ ὁ γλύπτης ἐν τῷ προνάῳ τοῦ ἱεροῦ Ἄμμωνος, ἐδήλωσεν αὐτὸν, ᾧ ἐκεῖνος ἐν στόματι εἶχεν ἀεὶ, ὡς ἐν τῇ ἱερᾷ ἡμῶν βίβλῳ ἀναγινώσκεται, καθιερωμένῳ ἀποφθέγματι ᾧδε·



ὅπερ φράζει τάδε· ‘ Δεῖ τὸν γεννητὸν τιμᾷν τὸν ἀγέννητον ἐσαεί· ἔχει γὰρ παρ' αὐτοῦ δῶρον τά τε ἐν τῇ γῇ πάντα, καὶ τὰ ἐν τῇ Θαλάσσῃ, καὶ τῶν ἐμψύχων ἄρχειν αὐτῷ εἶπε.’ ”

“ Δηλοῖ γὰρ τὸ μὲν ἄρωτρον τὴν ἀνάγκην, ὁ δὲ κάνθαρος τὴν γένεσιν, ἡ δὲ κουκούφα τιμὴν, ὁ δὲ ἱέραξ τὸν Θεὸν, ὁ δὲ αὖ κάνθαρος σὺν τῷ γυπὶ τὸ ἀγέννητον, ὁ δὲ κυματισμὸς τὸ ἀεὶ, ἡ δὲ χεὶρ τὸ ἔχειν· ὁ οὐρανὸς δὲ σὺν τῷ ὑετῷ τὸ παρὰ τοῦ Θεοῦ προερχόμενον φράζει, αἱ δὲ τῶν Θεῶν ἰδέαι Ἄμμωνός τε καὶ Ἀθηνᾶς τὴν δωρεὰν σημαίνουσιν, ὁ δὲ ὄφις τὴν γῆν, ὁ δὲ κύκλος τὰ ἐν τῇ γῇ, ὁ δὲ Τυφὼν τὴν θάλασσαν, ὁ δὲ ἀστὴρ τὸ ἔμψυχον, ἡ δὲ στολὴ

σὺν τῷ κυνὶ τὴν ἀρχήν, ἡ δὲ γλῶσσα σὺν τῷ ὀφθαλμῷ τὸ λέγειν, τὰ δὲ ἡμισφαίρια, τὰ καὶ πολυσήμαντα ἑτέρως καλούμενα ἀναφορᾶς ἐστι σύμβολα καὶ ἀντωνυμίας προσωπικῆς τε ἅμα καὶ κτητικῆς."

"Τῷ αὐτῷ δὲ τούτῳ τρόπῳ καὶ τοὺς μετ' αὐτὸν βασιλεῖς πάντας τε καὶ βασιλίσκους καὶ ἀρχιερεῖς, οὐ μὴν δὲ καὶ στρατηγοὺς ἐδήλωσαν οἱ σύγχρονοι ἐκείνοις· οἱ δὲ νεώτεροι, καὶ μάλιστα οἱ κατὰ χώρας βασιλίσκοι μετέβαλον οὐκ ὀλίγας γραφάς, τῷ ἰδιώματι τῆς διαλέκτου αὐτῶν ἑπόμενοι· διόπερ ἡ γραφὴ τοσοῦτον συνεχύθη, ὥστε κατέστη καὶ τῆς μᾶλλον εἰδήμοσι δισκατάληπτος ἐν μέρει. Τούτου οὖν ἕνεκα ἄρχομαι ἤδη ἀποδοῦναι ἕκαστα ἑκάστῳ καὶ σαφηνίσαι τὰ περὶ τούτου πάντα, ἵνα ἰδὼς ὁ λαός μου καλλιον τὴν προσήκουσαν ἐκείνοις ἀποδίδωσι τιμήν."

Ἐκ τῶν ῥημάτων οὖν τοῦ Χενώφεως τούτων βεβαιούμεθα ἀρκούντως, ὡς τὰ πλαίσια πάντα ἐστὶν ἀποφθεγμάτων βασιλικῶν περιεκτικὰ καὶ οὐδαμῶς γραμμάτων φωνητικῶν, ὥς περ σὺν Χενώφει καὶ ἄλλοι πολλοὶ τῶν ἀρχαίων ἱστορικῶν Αἰγυπτίων τε καὶ Ἑλλήνων βεβαιοῦσι τοῦτο, καὶ οὓς ἤδη παρατρέχω συντομίας ἕνεκα· οἱ δὲ καθ' ἡμᾶς Αἰγυπτιολόγοι οὐκ οἶδα τί παθόντες, δογματίζουσιν ἃ οὐκ οἴδασι πρὸς βλάβην, δυστυχῶς, τῆς ἐπιστήμης. Καὶ ἰδοὺ καὶ ἕτερον ἐκ τῶν πολλῶν μαρτύριον πρὸς βεβαίωσιν ὧν λέγω σοι τὸ ἑξῆς· ἐκ τῶν Χενώφεως πολυτίμων συγγραφῶν δανειζόμενος καὶ τοῦτο. Καὶ γὰρ οὗτος καταλιπὼν ἡμῖν ἐν παπύροις φωνῇ δημώδει τὸν τῆς Αἰγύπτου βασιλέων κατάλογον ἅμα τοῖς τούτων ἀποφθέγμασι, δι' ὧν, καθὰ ἐῤῥέθη, καὶ διαιωνίσθησαν, ἐξελέγξει τὰ μάλιστα τὴν τῶν καινοτόμων τόλμην διὰ τῆς τῶν συμβόλων ἀληθοῦς ἑρμηνείας.

Τὸ δὲ μαρτύριον ᾧδ' ἔχει.

"Σεσόγχωσις μέν τοι ὁ Ἀμμενέμεως υἱὸς πρῶτος περιθεὶς τὴν ἀρχὴν καὶ ὀκτὼ πρὸς τοῖς τριάκοντα καὶ ἑκατὸν ἄρξας ἐνιαυτοὺς διαιωνίσθη τελευτήσας, ᾧ αὐτὸς εἴθιζε λέγειν ἀποφθέγματι ᾧδε·



ὅπερ, καθὰ καὶ προεῤῥέθη, φράζει τάδε· ' Ὁ πυρίμορφός τε καὶ ἄφραστος ὅλως, Θεὸς ὁ ζῶν, τὴν δὲ γνώμην ἄτρεπτος καὶ οἰκτίρμων φησὶν, ὡς τὸν τὴν ἀρχὴν περιβαλλόμενον δεῖ ἄγρυπνον εἶναι καὶ μηδαμῶς νωθρὸν· θυμοῦ δὲ κρατεῖν καὶ πάσης ἐπιθυμίας, καὶ διαιωνισθήσεται αὐτός τε καὶ τὸ σπέρμα αὐτοῦ, καὶ ἔσεται μακαριζόμενός τε καὶ θαυμαζόμενος παρὰ τοῖς ζῶσιν, εἴπερ ταῦτα ποθήσει καὶ ἐν τούτοις ἀτρεπτεὶ μένει.' "

"Δηλοῖ γὰρ ὁ μὲν τοῦ ἡλίου δίσκος ἅμα ταῖς ἀκτίσι τὸ πυρίμορφον· τὸ δὲ τῆς ἐπιφανείας σύμβολον, τὸν τῶν ὁρωμένων κτίστην· τὸ δὲ χεῖλος ἅμα τῷ κύκλῳ καὶ τῷ ἰχθύϊ, τὸ καθόλου ἄφραστον· ἡ δὲ κλεὶς καὶ τὸ ὕδωρ, τὴν ζωὴν· ὁ δὲ ἱέραξ τὸν Θεὸν σημαίνει· ὁ δὲ οὐραῖος ὄφις μετὰ τοῦ κύκλου τὴν θείαν γνώμην ἐμφαίνει· ὁ δὲ ποῦς καὶ ἡ τῶν ἀνθέων δέσμη, τὸ ἄτρεπτον· ὁ δὲ νησσαῖος νεοσσὸς οἰκτίρμονα φράζει· ἡ δὲ γλῶσσα, τὴν λαλιὰν· ὁ δὲ γὺψ διαδοχῆς ἐστι σύμβολον· ὁ δὲ αὖ οὐραῖος τὴν διαιώνισιν δηλοῖ· τὸ δὲ ἡμισφαίριον ἅμα ταῖς γραμμαῖς ὑπόθεσιν φράζει· τὸ δὲ τῆς ἕδρας μετάφρενον ἅμα τῷ κύκλῳ, ἐπὶ κράτους παθῶν εἰώθαμεν γράφειν·

Γ2

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἀγαπᾷν δεῖ, ὥς περ καὶ τοὺς ἀθανάτους, ὅπως τοῦ θανάτου κρατήσῃ, καὶ ἔσεται μακαριζόμενος παρὰ τοῖς ζῶσι."

"Κλειδὶ γὰρ καὶ ἱέρακι τὸν ζωοδότην Θεὸν σημαίνομεν, κλειδὶ δὲ πάλιν αὖ σὺν δέσμῃ ἀνθέων καὶ νησσαίῳ νεοσσῷ τὸ τοῦ θεοῦ πρὸς πάντας θνητούς τε καὶ ἀθανάτους φιλόστοργον, ἐπὰν πρὸς Θεὸν τὸ γράμμα ἀναφέρεται· εἰδὲ πρὸς ἀνθρώπους, τὴν ἐπιβαλλομένην ἑκάστῳ πρὸς πάντας Θεούς τε καὶ ἀνθρώπους ἀγάπην. Τῇ κυνὸς δὲ κεφαλῇ ἅμα τῇ ῥάχῃ αὐτοῦ καὶ τῷ τῆς ἕδρας μεταφρένῳ, πρὸς δὲ καὶ τῷ στόματι ἐπιθυμίαν κράτους ἐπιγείου ἐμφαίνομεν· κλείθροις γὰρ καὶ ὕδατι ἀσφάλειαν δηλοῦμεν· σφαίρᾳ δὲ καὶ κανθάρῳ καὶ ἀγκάλαις τὴν τοῖς πᾶσιν ὀφειλομένην πρὸς βασιλέων πατρικὴν κηδεμονίαν. Ἱέρακι δὲ αὖ πάλιν καὶ δέσμῃ καὶ κλειδὶ καὶ ὑφάσματι τὴν πρὸς ἀνθρώπων κράτησιν τοῦ θανάτου δηλοῦμεν, ἤτοι τοὺς δι' ἔργων ἐνδόξων τε καὶ ἀγαθῶν διαιωνιζομένους· τοῖς δὲ λοιποῖς ὡς ἐῤῥέθη."

Ταῦτα οὖν φησι Χένωφις ὁ Αἰγύπτιος περὶ τῶν δύω πρώτων βασιλέων τῆς δωδεκάτης (κατὰ Μανέθωνα) δυναστείας, καὶ οὕτω καὶ τὰ ἱερᾷ γλυφῇ γεγραμμένα σύμβολα ἑρμηνεύει. Ὁ δὲ Πρῶσσος Λέψιος μεταγράψας τὰ μὲν πρῶτα τούτων ἐκ τοῦ Λουβρείου (Louvre) λειψάνου, καὶ ἐκδόσας αὐτὰ σὺν τῇ περὶ τῆς δωδεκάτης δυναστείας διατριβῇ αὐτοῦ, ἀποδίδωσι ταῦτα βασιλεῖ τινι Ἀμενέμχα δῆθεν πρώτῳ, καὶ γράμματα δογματίζων φωνητικὰ εἶναι, ἐξάγει ἐκ τούτων τὸ ῥηθὴν ὄνομα!!! Τὰ δὲ δεύτερα, τὰ καὶ ἐκ τοῦ Λεϋδενείου (Leyden) λειψάνου μεταγράψας, καὶ ἐκδόσας σὺν τοῖς πρώτοις Σεσουρτάσει (Sesurtasen 1) τινὶ ἀπονέμει, ἐκ τῶν συμβόλων δῆθεν ἐξάγων τὸ ὄνομα! τοῦτο. Ἀλλ' ἡ ἀκρά-

δαντος τοῦ Αἰγυπτίου Χενώφεως μαρτυρία ἀποδείκνυσιν, ὡς οἶμαι, ἀρκούντως καὶ καθόλου τὸ σφαλερὸν τῶν καθ' ἡμᾶς Αἰγυπτιολόγων. Τὸ δὲ σημαίνειν γράμμασι παντὸς ἀποθανατιζομένου ὄνομα οὐ μόνον Χένωφις ὁ Πανοπολιτῶν ἀρχιερεὺς ἀναιρεῖ δι' ὧν προεγράψαμεν λόγων, ἀλλὰ καὶ Χαιρήμων, ὁ τὰ τῶν Αἰγυπτίων εἰδὼς πάντα, καθὸ Αἰγύπτιος καὶ ἱερογραμματεὺς τῶν κατὰ τὴν Μέμφιν ἀδύτων χρηματίσας, καὶ μηδὲν παραλιπὼν Αἰγυπτιακὸν, ἀλλὰ πάντα διασῴσας ἐν τριακοσίοις πολυτίμοις βιβλίοις, ὃς μάλιστα καὶ διακηρύττει ἐν τῇ πρώτῃ τῶν Αἰγυπτιακῶν γραμμάτων[3] Τυῤῥηνικῇ σάλπιγγι χαλκοστόμῳ τάδε.

"Θεὸν οὐδεὶς γράψαι δύναται γράμμασι κελεύει νόμος ἱερὸς, ὁ δὲ γράψαι κατατολμήσας ὄνομα Θεοῦ, ἤτινος τῶν ἡμιθέων, γράμμασι, κοπτέσθω τὴν χεῖρα· ἔστω δὲ ἡ γραφὴ τοῦ Θεοῦ ἡ ἰδέα ἑκάστου."

καὶ πάλιν ἀλλαχοῦ ὁ αὐτός φησιν ὧδε·

"Ὁ γράψαι τολμήσας ὄνομα Θεοῦ γράμμασι, κοπτέσθω τὴν χεῖρα· ὁ δὲ σημᾶναι θέλων Θέον, τὴν ἰδέαν γραφέτω μόνην."

Ἕκαστος τοίνυν βεβαιοῦται ἐκ τῶν χωρίων τούτων, ὅτι ὑπῆρχε παρ' Αἰγυπτίοις νόμος ἱερὸς τὸ κωλύειν τοὺς Αἰγυπτίους σημᾶναι τὰ ὀνόματα Θεῶν τε πάντων καὶ ἡμιθέων γράμμασι, τοὺς δὲ παραβαίνοντας τὸν νόμον τοῦτον ἀποκόπτεσθαι τὴν χεῖρα. Ἀλλὰ μήπως τὰ τῶν Θεῶν, καὶ τὰ τῶν ἡμιθέων μόνον, ἐκώλυεν ὁ νόμος σημᾶναι τοὺς Αἰγυπτίους γράμμασι,

[3] Τὰ τοῦ Χαιρήμονος πολύτιμα συντάγματα τριακόσια ὄντα τὸν ἀριθμὸν βιβλία ἐσώθησαν εὐτυχῶς ἅπαντα, ἅπερ καὶ ἐπιγράφονται ὧδε· "Χαιρήμονος Μεμφίτου τοῦ ἱερογραμματέως, Αἰγυπτίων γραμμάτων ἱερῶν τε πάντων καὶ τῶν δημοτικῶν τῶν εἰς τριακόσια τὸ πρῶτον, τὸ δεύτερον, τὸ τρίτον" κ.τ.λ. ἄχρι τοῦ τριακοσιοστοῦ.

τὰ δὲ τῶν ἡρώων καὶ βασιλέων οὔ; Πάντα ἀπηγόρευεν ὁ νόμος γράφειν Θεῶν τε καὶ ἡμιθέων καὶ βασιλέων καὶ ἀρχιερέων τοῦ λαοῦ, ὡς Χένωφις προεῖπε καὶ Χαιρήμων φησὶ παρακατιὼν ὧδε.

"Σημαίνομεν δὲ τὰ τῶν βασιλέων, ἡρώων, καὶ τὰ τῶν ἀρχιερέων τοῦ λαοῦ, γράμμασι μὲν, ὡς τὰ λοιπὰ τῶν ἐθνῶν, οὐδαμῶς γράφοντες, ὀργάνοις δὲ τεκτονικοῖς· ἔτι δὲ θηρίοις χερσαίοις τε καὶ ἐνύδροις καὶ τοῖς πετεινοῖς, τὸ ἦθος. δηλοῦντες τοῦ σημαινομένου συμβολικῶς, καὶ οὐ τὄνομα σχέσιν ἔχοντός τινα φυσικήν τε ἢ μεταφυσικὴν πρὸς τὸ γραφόμενον τῶν θηρίων, ἢ τῶν ὀργάνων. Γράφομεν δὲ σύμβολον ἓν ὡς ἐπὶ τὸ πολὺ, ἀλλ' οὐ τὸ αὐτὸ πάντοτε. Ἔνιοι δὲ καὶ μάλιστα οἱ Ἡλιουπολῖται καὶ σὺν τούτοις οἱ Παραμεμφῖται καὶ πλείω τοῦ ἑνὸς, τὰς διαθέσεις δηλοῦντες τροπικῶς τοῦ ἀνθρώπου, ἅπερ οἱ μὲν περικλείουσι γραμμαῖς, οἱ δὲ οὐ ὡς εἰς ἓν ἀναφερόμενα πρόσωπον. Οἱ δὲ τοῖς χρόνοις παλαίτατοι καὶ διὰ τοῦ διαγράμματος ἐδήλουν τὄνομα, ὅπερ καὶ μέχρι τῆς δεῦρο παρὰ Θηβαίοις ἐπικρατεῖ."

Τὶ οὖν πρὸς ταῦτα οἱ σοφοὶ Σαμπολλὼν καὶ Λέψιος καὶ οἱ ὀπαδοὶ αὐτῶν ἀντιτάξαι ἔχουσιν; Αἰγυπτίων γὰρ οἱ σοφώτεροι ταῦτα διασαλπίζουσιν. Ἀλλὰ τούτους μὲν, ὦ φίλτατε, ἀφέντες ἤδη, φέρε ἴδωμεν τὶ τὰ λοιπὰ τέσσαρα ἑρμηνευθέντα μνημεῖα, τὰ ἐν τῷ ὑμετέρῳ Μουσείῳ σῳζόμενα λέγουσι.

Καὶ δὴ τὸ μὲν ἓν τούτων (τὸ Β'.) εἰκονίζον τὸν Θεὸν ΧΕΜΜΑΝ (Πάνα καθ' Ἕλληνας) καὶ τὸν λειτουργὸν αὐτοῦ Σχέθην, λέγει τὰ ἐν αὐτῷ ἱερὰ γράμματα τάδε.

"Θαῤῥῶν σοφίᾳ προσῆλθον παιδιόθεν, καὶ ἐγκρατείᾳ συνοικήσας τῇ αὐτῆς ἀδελφῇ εὐσέβειαν καὶ δικαιωσύνην ἐνεδύθην. Διόπερ καὶ Χεμμᾷ τῷ Θεῷ

ἀνεδείχθην λειτουργὸς τῇ συνάρσει τοῦ Θεοῦ, εὐθὺς ὡς ὁ ἐμὸς εἰς Θεοὺς μετέστη πατήρ. Καὶ δὴ ἀεὶ καλὰ βουλευσάμενος τῆς ὁδοῦ τῆς ἀγαθῆς παρεξετράπην οὐδέποτε. Ἴσχυσε δὲ οὐδὲ κακόβουλος ἀνὴρ ποιῆσαι τὶ κατ᾽ ἐμοῦ πώποτε, κἂν πολλοὶ πολλάκις ἠγέρθησαν, καὶ ψευδῶς πολλὰ ἐλάλησαν. Θεοὺς γὰρ σεβάζειν ἐκ γενετῆς ἔμαθον, καὶ θεραπεύειν ἐν παντὶ καιρῷ καὶ καθαρᾷ καρδίᾳ. Ὅθεν καὶ ἐκρατήνθην τῷ λόγῳ τῆς ἀληθείας, καὶ τὸν φθονήσαντα τῆς χώρας ἡμῶν, καὶ δὶς ἐπελθόντα καθ᾽ ἡμῶν τοῦ κατακτῆσαι αὐτήν τε καὶ ἡμᾶς κατετρόπωσα, Σάαχον τὸν τῆς Ἀραβίας δυνάστην καταβαλὼν τῇ τοῦ πολιούχου ἡμῶν, Χεμμᾶ συνάρσει, καὶ τὸν λαόν μου ηὐλόγησα εὐλογίᾳ τοῦ πολιούχου, καὶ λαφύρων ἐχθρικῶν κατεπλούτησα. Τῷ δὲ ἀρρογῷ ἡμῶν δεκάτην προσήνεγκα ἐκ τῶν λαφύρων, καὶ εὐχαριστίᾳ εὐχαρίστησα, καὶ τὸ ὄνομα αὐτοῦ ἐν πᾶσιν ἐμεγάλυνα. Ὅτι αὐτός ἐστιν ὁ κρατῶν ἡμῶν, αὐτὸς ὁ φυλάσσων ἡμᾶς. Ἀγαπήσωμεν οὖν αὐτὸν ἀπὸ καρδίας, ὥσπερ καὶ πάντας τοὺς συννάους αὐτῷ Θεούς, καὶ λατρεύσωμεν αὐτοὺς λατρείᾳ καρδίας ἀψευδεῖ· ἐν τούτοις γὰρ καὶ γενόμεθα, καὶ ἐν τούτοις βιῶμεν, καὶ ἐν τούτοις μένομεν ἀεὶ δοξαζόμενοι, διασαλπίζει Μάλχις ὁ



B´

Χεμμᾶ[4] Θεοῦ τοῦ μεγάλου ἀρχιθύτης καὶ τῆς θεϊκῆς αὐτοῦ θελήσεως ἐκτελεστῆς."

Καὶ ταῦτα τὸ δεύτερον περιέχει Αἰγυπτιακὸν μνημεῖον· τὸ δὲ τρίτον φράζει τάδε.

" Γεννητόρων σεπτὰς παραγγελίας οὐδέποτε παρεῖδον, ἀλλὰ καὶ ἀπὸ καρδίας ἠγάπησα αὐτὰς ἐν πάσαις ταῖς ἡμέραις, τῆς ζωῆς μου. Δι' ὃ καὶ τῆς εὐθείας ὁδοῦ ἐξέκλινα οὐδέποτε, ἀλλ' οὐδ ἐταπεινώθην πάθους τινὸς ἕνεκα, ὅτι παθῶν ἐδιδάχθην ἐκ νεότητος μου κρατεῖν, ὡς οὐδὲ θανάτου ἰσχὺν ἐφοβήθην οὐδαμῶς· θνητὸς γὰρ ὤν, καὶ τοῦ θανάτου ἀεὶ μνημονεύων, καὶ τούτου ἐκράτησα ἐν τοῖς ἀθανάτοις καταταχθείς. Πέποιθα δὲ εἰς Θεοὺς ἀθανάτους, ὡς καὶ τὸ σπέρμα μου μεγαλυνθήσεται σφόδρα σφόδρα, καὶ τὰς ῥίζας τῆς βασιλείας αὐτοῦ ἐν πάσῃ ἐπεκτείνει τῇ γῇ; εἴπερ τὸ ἐμὸν



Γ'.

[4] Τὸ ὄνομα τοῦ θεοῦ Χεμμᾶ ἀπαντᾶται ἐν τῇ εἰκόνι οὐδαμῶς, ἀλλ' ἐννοῆται ἐξ ὧν εὕρηται ἀναφορικῶν συμβόλων ἀποδιδομένων τῇ ἐν τῇ πλακὶ εἰκονιζομένῃ εἰκόνι τοῦ Χεμμᾶ. Τὰ δὲ ὀνόματα Μάλχις καὶ Σέθωνης ἐκ τοῦ διαγράμματος αὐτῶν διακρίνεται, καθ' ὃν μάλιστα τρόπον Χαιρήμων διδάσκει, ὥς περ καὶ τὰ λοιπὰ τῶν ὀνομάτων κυρίων τε καὶ ἐθνικῶν ἐκ τῶν καθιερωμένων ἀποφθεγμάτων καὶ συμβολικῶν γνωρισμάτων, καὶ οὐχὶ ἐκ γραμμάτων φωνητικῶν· οὐδαμοῦ γὰρ εὕρηται τοιαῦτα.

ἀκριβῶς ἄχρι τέλους διατηρήσῃ παράδειγμα· κλείζεται γὰρ ὁ σωφρονῶν ἐν βίῳ ζωῆς αὐτοῦ, καὶ οὐδέποτε ἀποθνήσκει κἂν ἀποθάνῃ· ὁ δὲ τἀναντία πράττων, νεκρὸς ἐστιν ἀεί· ὅτι ὕβρις τε καὶ χλεύη τῶν ἑαυτοῦ παθῶν γίγνεται.

"Θάλλον ἔστι δένδρον ὅτε σώφρων καὶ ὁ δίκαιος, καρποὺς παντοδαποὺς ἀεὶ παράγοντες, ὁ δὲ ἀκόλαστος καὶ ἄδικος δένδρον ἄγριον καὶ σεσηπὸς σκώληκας ἰοβόλους τρέφον ἐν τῷ κέντρῳ τῆς καρδίας αὐτοῦ. Ὁ δὲ πλουτῶν ἐν ἀνομίᾳ καὶ πεποιθὼς ἐπὶ πλούτῳ, ταχὺ μεταμεληθήσεται· ὅτι ῥιζόθεν ψοφήσει, ἐφ' ὧν ματαίως ἤλπησε λέγει Σέθωνης, ὁ ὑπέρτατος τῆς ἱερᾶς γῆς τῶν Αἰγυπτίων βασιλεὺς ἐγώ.

Οὕτω καὶ τὰ τοῦ τρίτου ἔχει μνημείου· τὸ δὲ τέταρτον κανθάρου σχῆμα ἔχον, περιέχει τὰ ἑξῆς, ἅπερ καὶ ἑρμηνεύονται ὧδε·



Δ'.

"Σούαχις ἐκλήθην εὐθὺς ὡς ἐτέχθην· ὁ δὲ οὕτω καλέσας με ὁ πρὸς πατρὸς τυγχάνει θεῖος· οὕτω γὰρ καὶ οὗτος καλεῖται. Σοφίᾳ δὲ ᾠκειωθεὶς, καὶ φρονήσει συνδεθεὶς, παρέκλινα τῶν ἱερῶν τοῦ Ἑρμοῦ ἐντολῶν οὐδέποτε, ἀλλὰ καὶ παράδειγμα ἐγενόμην τοῖς ὁμήλιξί μου. Μετὰ δὲ ταῦτα Ψαμμούθεως τοῦ βασιλέως ἐπὶ τὴν Αἰθιόπων πανστρατιᾷ γενομένου, ἠκολούθησα κἀγὼ τούτῳ, καὶ τὰ μάλιστα ἠρίστευσα ἐν μάχῃ μεγάλῃ, ἐν ᾗ μάλιστα καὶ ὁ Κύριος ἡμῶν μανόμενος ἡρωϊκῶς ἔπεσεν, ὃν

Ἄθρης εὐθὺς διαδεχθεὶς ὁ παῖς αὐτοῦ τῇ τοῦ στρατοῦ παντὸς ψήφῳ, καὶ συμβαλόντες αὖθις τοῖς ἐναντίοις, ἐκρατήσαμεν αὐτῶν Θέρωνα τὸν βασιλέα συλλαβόντες ἐν τῇ μάχῃ καὶ κατακρεουργήσαντες. Ἐγὼ δὲ τῷ βασιλεῖ ἡμῶν παρακολουθῶν ἀεὶ, ἐπληγώθην δόρατι, καὶ εἰς τὴν ἐμὴν ἐπανακάμψας πατρίδα, μετέβην ὅπου καὶ οἱ πατέρες μου· δύω καταλείψας τέκνα ὑπηρετήσοντα τὴν γὴν ἡμῶν τὴν ἱερὰν, τὴν γῆν τῆς γεννήσεως ἡμῶν."

Καὶ τοσαῦτα μὲν καὶ τὸ τέταρτον περιλαμβάνει μνημεῖον· τὸ δὲ πέμπτον τάδ' ἔχει ἑρμηνευόμενον.

"Παῖς ἔτι ὢν τὸν ἐμὸν εἶδον πατέρα κατακλιθέντα· ἐπὶ τρεῖς δὲ ἡμέρας καὶ νύκτας δύω ταλαιπωρηθεὶς εἰς Θεοὺς μετέστη. Ἐν δὲ τῷ χρόνῳ τούτῳ οὐδὲν ἕτερον ἤκουσα αὐτοῦ λέγοντος εἰμὴ τὸ, "τέκνον, σωφρόνει ἀεὶ καὶ ἄρξεις πολλῶν." Καὶ ἀληθῶς τὴν ἐντολὴν φυλάξας ταύτην, οὐ μόνον τῶν ἀγαθῶν Ὀσίριδος ἐπλήσθην, ἀλλὰ καὶ ἰσχυρὸς ἐν πολέμῳ ἐγενόμην· πεντάκις γὰρ παρετάχθην κατὰ τοῦ κοινοῦ ἡμῶν ἐχθροῦ, καὶ τοσάκις ἠνδραγάθησα· μικρὸν δὲ ὕστερον τῆς τοῦ πατρὸς ἐντολῆς παρεκτραπεὶς, ἐπλήγην κακῶς καὶ ἐν τῇ οἰκείᾳ ἐτάφην γῇ. Δι' ὃ ἤδη ἐντέλλομαι τοῖς παισί



Ε'.

μου, ἵνα σωφρονῶσιν ἀεὶ. Ὅτι ἄλλως καταστραφήσονται καὶ οὗτοι βολῇ ἐχθρικῇ προτοῦ ἀποδειχθήσονται ὁποίων ἀνδρῶν εἰσιν ἀπόγονοι."

Ταῦτα μέντοι, ὦ φίλτατε, ἱστοροῦσιν αἱ τιμαλφεῖς πέντε τῆς Αἰγύπτου ἀρχαιότητες· ἐξ ὧν, ὡς καθορᾶται, ἡ μὲν πρώτη φησὶν, ὡς ἡ τῆς ἀληθείας

ἰσχύς ἐστιν ἀτελεύτητος. "Ἀθάνατον γὰρ χρῆμα, ἡ ἀλήθειά ἐστιν καὶ ἀΐδιόν" φησιν ὁ Ἐπίκτητος. Ὁ δὲ ἱερὸς Διονύσιός φησιν, "Ἀλήθειά ἐστιν ὁ Θεὸς, ὡς ἓν, οὐ πολλὰ τῇ φύσι· τὸ μὲν γὰρ ἀληθὲς ἓν, τὸ δὲ ψεῦδος πολυσχεδές· φησὶ γὰρ καὶ ὁ Χριστὸς "Ἐγώ εἰμὶ ἡ ὁδὸς, καὶ ἡ Ἀλήθεια, καὶ ἡ ζωή." Δι' ὃ δεῖ ἡμᾶς ἀληθεύειν ἀεὶ ὅτι υἱοὶ Θεοῦ ἐκλήθημεν· "κράτιστον γὰρ ἀγαθὸν ἡ ἀλήθεια, διακηρύττει ὁ θεῖος Βασίλειος, καὶ ταύτης τιμιώτερον οὐδὲν" κατὰ τὸν Ἐπίκτητον, ὅπερ καλῶς οἱ Αἰγύπτιοι γινώσκοντες ἐθεοποίησαν, καὶ θυσίας ἐπετέλουν τῇ θεότητι ταύτῃ κατὰ νουμηνίαν σῖγα. Ὅθεν καὶ ἡ Ὀλυμπιὰς λαβοῦσα ἀφορμὴν, ἐβοήσε τάδε. "Ἀλάθεια Θεῶν ὁμόπολις, μόνη Θεοῖς συνδιαιτωμένη."

Αἱ δὲ λοιπαὶ τέσσαρες καὶ μάλιστα ἥτε δευτέρα καὶ ἡ τρίτη ἠθικῶν γέμουσι παραγγελμάτων, ἅπερ φέρουσι πολλὴν, ἀληθῶς, τὴν ὁμοιότητα πρὸς τὰ τῶν θείων ἡμῶν Γραφῶν. Καὶ γὰρ τοιαύτης φύσεως, ὡς ἔοικεν, ἦσαν ἅπασαι αἱ ἱεραὶ τοῦ Ἑρμοῦ Γραφαὶ, καθόσον ἐξάγεται ἐκ τῶν σωζομένων ἐν τοῖς πλαισίοις, καὶ τοιαῦται πάντως ὤφειλον εἶναι· ἀπόδειξις δὲ τρανωτάτη καὶ οἱ ἐν Αἰγύπτῳ μαθητεύσαντες σοφοὶ τῶν Ἑλλήνων, Πυθαγόρας τε καὶ Πλάτων, καὶ ἄλλοι, οἵτινες φαίνονται πολλὰς τοιαύτας ἐκφαντορικὰς καὶ θεοπρεπεῖς ἐννοίας εἰς τὰς ἑαυτῶν μετοχετεύσαντες συγγραφὰς, καθάπερ καὶ Ἀβάμμων παρ' Ἰαμβλίχῳ φησί. "Φιλόσοφον δ' εἴτι προβάλλεις ἐρώτημα, διακρινοῦμεν σοι καὶ τοῦτο κατὰ τὰς Ἑρμοῦ παλαιὰς στήλας, ἃς Πλάτων ἤδη πρόσθεν καὶ Πυθαγόρας διαγνόντες, φιλοσοφίαν συνεστήσαντο" (Κεφ. β'.). Συμφάσκει δὲ τῷ Ἀβάμμωνι καὶ Πλούταρχος αὐτὸς, γράφων ἐν τῷ περὶ Ἴσιδος καὶ Ὀσίριδος βιβλίῳ τάδε. "Εὔδοξον μὲν οὖν εἰς Αἴγυπτον ἀφικόμενον

Χνούφεώς φησι Μεμφίτου διακοῦσαι; Σόλωνα δὲ Σόγχιδος Σαΐτου, Πυθαγόραν δὲ, Οἰνούφεως Ἡλιουπολίτου· μάλιστα δὲ οὗτος, ὡς ἔοικε, θαυμασθεὶς καὶ θαυμάσας τοὺς ἄνδρας, ἀπεμιμήσατο τὸ συμβολικὸν αὐτῶν καὶ μυστηριῶδες, ἀναμίξας αἰνίγμασι τὰ δόγματα. Τῶν γὰρ καλουμένων γραμμάτων ἱερογλυφικῶν οὐθὲν ἀπολείπει τὰ πολλὰ τῶν Πυθαγορικῶν παραγγελμάτων, οἷόν ἐστι τὸ μὴ ἐσθίειν ἐπὶ δίφρου, μηδ' ἐπὶ χοίνικος καθῆσθαι, μηδὲ φοίνικα φυτεύειν, μηδὲ πῦρ μαχαίρῃ σκαλεύειν ἐν οἰκίᾳ."

Σὺν τοῖς ἠθικοῖς οὖν παραγγέλμασι περιέχουσιν αἱ μεγάτιμοι αὗται ἀρχαιότητες καὶ ἱστορικὰς πληροφορίας οὐκ εὐκαταφρονήτους. Καὶ γὰρ ἐν τῇ δευτέρᾳ ἱστορεῖται ὡς, Σάαχός τις Ἀραβίας δυνάστης γενόμενος ἐπὶ τὴν Αἴγυπτον ἐνικήθη κατὰ κράτος. Ὁ δὲ Σάαχός, φησιν ὁ Οὐράνιος ἐν τοῖς Ἀραβικοῖς, ἐδυνάστευσε τῆς Ἀραβίας καθ' ὃν καιρὸν καὶ ὁ Σμένδης τῆς Αἰγύπτου. Ἐπὶ τῶν ἡμερῶν οὖν τούτου εἰσβαλὼν ὁ Σάαχος εἰς τὴν Αἴγυπτον διὰ τοῦ Πηλουσίου κατετροπώθη στρατηγήματι τοῦ ἀρχιερέως τοῦ Θεοῦ Χεμμᾶ, προτοῦ μάλιστα τὸν βασιλέα Αἰγύπτου γενέσθαι κατ' αὐτοῦ. Ἐκαλεῖτο δὲ ὁ ἀρχιερεὺς οὗτος (ὥσπερ Οὐράνιος ὁ Ἀλεξανδρεὺς καὶ Χάρων ὁ Ναυκρατίτης ἐν ταῖς ἀρχιερατικαῖς ἱστορίαις φασὶ) Μάλχις. Περὶ δὲ Σμένδεως τοῦ κατατροπωσαμένου τοὺς Ἄραβας ὕστερον, εἰσβαλόντες εἰς τὴν χώραν αὐτῶν, τῆς τοῦ Σαάχου τόλμης ἕνεκα, εὕρηται ἐν ταῖς βασιλικαῖς τοῦ Οὐρανίου ἀναγραφαῖς τάδε . . . . "Λυθείσης δὲ τῆς στάσεως ἀνέστησαν κατὰ Χούκεμφιν Τανῖται, οἱ συμβαλόντες αὐτῷ περὶ τὴν Μέμφιν, κατὰ κράτος ἐνίκησαν, καὶ τὴν ἀρχὴν κατέσχων Τανῖται. Ἦρχε δὲ τούτων Σμένδης (ὃ θαμβητὸς ἑρμηνεύεται) ἀνὴρ τὸν μὲν

τρόπον δόλιος, τὴν δὲ ἰσχὺν μέγας, ὃς δόλῳ τὴν Αἰγύπτου ἀρχὴν περιθέμενος, ἐννενηκοστὸς τρίτος καὶ τετρακοσιοστὸς ἐβασίλευσεν ἐνιαυτοὺς ἑβδομήκοντα πρὸς τοῖς ἑπτά, καὶ Ἄραβας κατατροπωσάμενος πολεμοῦντας αὐτῷ ἐπὶ ἐνιαυτοὺς ἑπτά, καὶ πόλιν κτίσας Θάμαριν, ἀπὸ τῆς γυναικὸς αὐτοῦ, Τάνιδος ἐγγὺς, τὸν βίον ἐτελεύτησεν Οὐάφρει τῷ υἱῷ αὐτοῦ (εὔψυχον δηλοῖ τὄνομα) καταλιπὼν τὴν ἀρχήν."

Καὶ τοσαῦτα καὶ περὶ τούτου. Ἡ δὲ τρίτη τῶν ἀρχαιοτήτων ἐστὶν ἓν ἐκ τῶν καθιερωμένων βασιλικῶν ἀποφθεγμάτων, καὶ ἀπονέμεται τῷ δυνάστῃ Σέθωνει, ὡς Χένωφίς φησι· λέγει γὰρ οὗτος περὶ τούτου τάδε.

"Ἀμένωφις δὲ εἰς Θεοὺς μεταβάντος Σέθωνις ὁ παῖς αὐτοῦ τὴν ἀρχὴν περιλαμβάνει καὶ Αἰγύπτου ἄρχει ἐνιαυτοὺς τεσσαράκοντα καὶ τῷ ἑξῆς διαιωνίζεται ῥήματι - - - - Ὅπερ ἑρμηνευόμενον, φράζει τάδε· 'Γεννητόρων σεπτὰς παραγγελίας οὐδέποτε παρεῖδον" . . . . . καὶ τλ. ὡς ἀνωτέρω.

Ἱστορεῖ δὲ καὶ ὁ Οὐράνιος περὶ Σεθώνεως τὰ ἑξῆς.

"Βασιλεύει δὲ Αἰγύπτου ἑβδομηκοστὸς τέταρτος καὶ τετρακοσιοστὸς Σέθωνις (ὀρσίκτυπον εἴποι τις ἄν) ὁ τούτου παῖς ἐπὶ ἐνιαυτοὺς τεσσαράκοντα, ὃς ἐπὶ Φοινίκην στρατευσάμενος μετὰ δυνάμεων ἐν τῷ πέμπτῳ ἐνιαυτῷ τῆς αὐτοῦ βασιλείας, πᾶσαν ἐδουλώσατο Φοινίκην, ἐνδείᾳ ἐπιτηδείων. Κύπρον δὲ ἐξανδραποδισάμενος ὕστερον ἐπὶ Ἀσσυρίους ἧκεν, οὓς καταστρεψάμενος Μήδους ἔσπευδε πολεμήσων, καὶ συμβαλὼν αὐτοῖς ἐν Ἀρμαδᾷ χώρᾳ τρισκαίδεκα ἀποκτείνει μυριάδας τούτων, καὶ τῆς χώρας αὐτῶν ἐκράτησεν. Ἐντεῦθεν δὲ ἐπὶ Λαχέθους καὶ Μάρους, ὧν περιγενόμενος, εἰς Αἴγυπτον ἐπανῆλθε· καὶ Ἐρβαθάνῃ (ὀξυδερκὴς λέγοιτ' ἄν) τῷ ἀδελφῷ, τῷ τὴν

ἀρχὴν κατασχόντι καὶ ἐπ' αὐτὸν γινομένῳ σὺν δυνάμει πολλῇ, κατὰ κράτος ἐνίκησε περὶ τὸ Πηλούσιον συμβαλών, καὶ τὴν βασιλείαν ἔσχε καὶ αὖθις ἐπὶ ἐνιαυτοὺς πέντε πρὸς τοῖς τριάκοντα· ὁ δὲ Ἐρβαθάνης νικηθεὶς εἰς Ῥόδον κατέφυγε σὺν τοῖς τέκνοις αὐτοῦ. Ἐντεῦθεν δὲ εἰς Πελοπόννησον ἀπάρας, καὶ τῇ θυγατρὶ συγγενόμενος Γελάνορος Ἀργείων τοῦ βασιλέως, ἡσυχίαν εἶχε. Γελάνορος δὲ ἀποθανόντος, Ἐρβαθάνης τὴν ἀρχὴν λαμβάνει καὶ Ἀργείων ἄρχει. Μετὰ δὲ τὴν τοῦ Σεθώνεως τελευτὴν Ῥάψαχις (ὁ πλουτογηθὴς ἑρμηνεύεται) ἦρξεν, ὁ τούτου υἱός, Αἰγύπτου ἑβδομηκοστὸς πέμπτος καὶ πεντακοσιοστὸς ἑκατὸν ἐνιαυτοὺς καὶ ὀγδοήκοντα πρὸς τοῖς ὀκτώ." (βιβλίον γ΄.).

Παραπλήσια δέ που τοῖς ὑπὸ τοῦ Οὐρανίου ἱστορουμένοις καὶ ἄλλοι τῶν ἱστορικῶν λέγουσιν, ἅπερ καὶ παραλείπω συντομίας ἕνεκα.

Περὶ μὲν οὖν τῆς τρίτης ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσιν, ἡ δὲ τετάρτη Σουάχει τινὶ στρατιώτῃ ἀποδίδοται· ἔχει δὲ αὕτη σχῆμα κανθάρου, ὅπερ ἐστὶν ἔμβλημα ἀνδρείας κατὰ τὸν Ὡραπόλλωνα Χένωφιν καὶ ἄλλους, καὶ ὅπερ ἐτίθετο ἐν ταῖς σοροῖς τῶν στρατιωτικῶν φέρον ἐγκεχαραγμένην γράμμασιν ἱεροῖς καὶ τὴν ἱστορίαν τοῦ ἀποθανόντος περιληπτικῶς, ὥσπερ καὶ ἐν τοῖς τῶν ἱερέων σοροῖς πάπυρος γεγραμμένος ἐτίθετο· ἐν δὲ τοῖς τῶν γεωργῶν σπέρματα γῆς ἐβάλλετο καὶ ὁ βίος αὐτῶν (ὁ κατ' ἔκτασιν) τῆς σοροῦ πέριξ ἐγράφετο φωνῇ ἱερᾷ.[5]

[5] Εἰώθασιν οἱ Αἰγύπτιοι συνθάπτειν τοῖς νεκροῖς αὐτῶν καὶ παπύρους γεγραμμένους, καὶ σπέρματα γῆς, καὶ κανθάρων ὁμοιώματα, τὰ καὶ ἀνδρόσημα ἄλλως λεγόμενα. Καὶ οἱ μὲν πάπυροι ἐν ταῖς τῶν ἱερέων καὶ βασιλέων καὶ ἐν ταῖς τῶν ἰσοβάθμων τούτοις τὸ πολίτευμα ἐτίθεντο, κεκλεισμένοι καλῶς

Συνεστράτευσε τοίνυν ὁ ῥηθεὶς Σούαχις τῷ βασιλεῖ Ψαμμούθει κατ' Αἰθιόπων γενομένῳ, καὶ τὰ μάλιστα ἠνδραγάθησεν. Ὡς δὲ Ψάμμουθις ἐν μάχῃ ἐτελεύτα, καὶ ὁ Ἄθρης τὴν ἀρχὴν ἐνεδύθη, ἠρίστευσε καὶ πάλιν οὗτος τῷ βασιλεῖ αὐτοῦ παρακολουθῶν, ἀλλ' εἶτα πληγεὶς ἐν τῇ γῇ τῆς αὐτοῦ γεννήσεως θάπτεται ἀποθανών. Τὸ δὲ ἱστορικὸν τοῦτο ᾧ δε πως Οὐράνιος διηγεῖται ἐν τῇ τρίτῃ τῶν βασιλικῶν ἀναγραφῶν. . . . . . "Στρατευσάμενος δὲ καὶ πάλιν ἐπὶ τοὺς Βαβυλωνίους καὶ ἡττηθεὶς εἰς Αἴγυπτον ἐπανέστρεψε καὶ τὴν βασιλείαν παραδίδωσι τελευτήσας τῷ παιδὶ αὐτοῦ, Ψαμμούθει ὀνόματι (ὃ εὐέκτης ἑρμηνεύεται), βασιλεύσας Αἰγύπτου τριάκοντα πρὸς τοῖς πέντε πλήρεις ἐνιαυτούς. Ψάμμουθις δὲ παραλαβὼν τὴν βασιλείαν Αἰγύπτου τριακοστὸς τρίτος καὶ πεντακοσιοστὸς, καὶ ἐπὶ Αἰθίοπας στρατευσάμενος καὶ συμβαλὼν αὐτοῖς, αὐτὸς μὲν ἀναιρεῖται κατὰ τὴν μάχην, ἑκκαίδεκα ἄρξας Αἰγυπτίων ἐνιαυτούς. Ἡ δὲ στρατιὰ αὐτοῦ Ἄθρην (βοηθὸν ἄντις εἴποι) ἀνέδειξε Ψαμμούθεως υἱὸν βασιλέα Αἰγύπτου, ὃς παραταξάμενος τοῖς Αἰθίοψι τούτων μάχῃ ἐκράτησε, καὶ πολλοὺς ἀνεῖλε τῶν πολεμίων, ἐν οἷς καὶ Θέρωνα τὸν Αἰθιο-

ἐν θήκαις ξυλίναις σχῆμα ἐχούσαις σορῶν καὶ γράμμασι πεπυκασμέναις ἱεροῖς· ἐν δὲ ταῖς τῶν στρατιωτῶν τὰ ἀνδρόσημα, ἱερὰ καὶ ταῦτα φέροντα γράμματα. Ἐν δὲ ταῖς τῶν γεωργῶν σπέρματα ἐβάλλοντο γῆς. Καὶ γὰρ ὁ μὲν πάπυρος ἱερότητος ἦν σύμβολον, γεωργίας δὲ τὰ σπέρματα, ὥς περ καὶ ἀνδρείας ὁ κάνθαρος. Διῃροῦντο δὲ καὶ οἱ Αἰγύπτιοι αὐτοὶ εἰς τρεῖς κυρίως κλάσεις, εἰς τὴν τῶν ἡγεμόνων ἐν ᾗ καὶ ἡ τῶν ἱερέων κατελέγετο, καὶ εἰς τὴν τῶν μαχίμων, καὶ εἰς τὴν τῶν γεωργῶν. Τὰ δὲ τῶν νομέων καὶ τεχνιτῶν συντάγματα (ὑπῆρχον γὰρ καὶ ταῦτα) δι' ἰδίων νεκρικῶν διεκρίνοντο συμβόλων, ὥς περ ἀλλαχοῦ ἐδηλώθη. (ὅρα καὶ ἐν βίῳ Σιμωνίδου ὑπὸ Ch. Stewart, ἐν σελ. 61).

πίας δυνάστην, οὗ τὸν υἱωνὸν, Μάνωθιν τοὔνομα βασιλέα ἀνέδειξε, καὶ τὰ κατὰ τὴν Αἰθιοπίαν καταστησάμενος, ὡς ᾤετο μάλιστα συμφέρειν αὐτῷ, εἰς Αἴγυπτον ἀνέζευξεν, ἐν ῇ βασιλεύσας τριακοστὸς τέταρτος καὶ πεντακοσιοστὸς, ἐνιαυτοὺς ὑπὲρ τοὺς εἴκοσι, δόλῳ τὸν βίον μετήλλαξε· τὴν δὲ βασιλείαν Οὔαφρις ὁ τούτου υἱὸς παραλαβὼν, τριακοστὸς πέμπτος καὶ πεντακοσιοστὸς ἐβασίλευσεν," . . .

Καὶ τοσαῦτα καὶ περὶ τοῦ τετάρτου μνημείου ἐν τῷ παρόντι· περὶ δὲ τοῦ πέμπτου λέγομεν ὡς, στρατιωτικὸν ὂν καὶ τοῦτο ἔμβλημα, καὶ σχῆμα ἔχον κανθάρου, ἔστι πατρὸς ἀγαθοῦ σεπτὰ πρὸς τοὺς υἱοὺς αὐτοῦ παραγγέλματα ὡς καὶ τὰ λοιπά· περιέχει δὲ τοῦτο οὐδεμίαν ἱστορικὴν περίεργον ὑπόθεσιν πλὴν τῆς τοῦ τελευτήσαντος στρατιώτου, ἥν περ οἱ οἰκεῖοι αὐτοῦ ἔγραψαν. Ἔθος γὰρ ἦν παρὰ πᾶσιν Αἰγυπτίοις γράφειν τὰς ἀρετὰς τοῦ τεθνεῶτος, ὥς περ καὶ τὰς ἠθικὰς διδασκαλίας οἱ συγγενεῖς αὐτοῦ. Ἔγραφον δὲ αὐτὰ οὐ μόνον ἐπὶ τῆς σοροῦ ἑκάστου νεκροῦ, ἀλλὰ καὶ ἐπὶ λίθου, καὶ παπύρου· μάλιστα δὲ καὶ ἐπὶ μιμημάτων σορῶν. Εἰώθασι γὰρ οἱ Αἰγύπτιοι, ὡς Χαιρήμων φησιν, ἀπομιμεῖσθαι τοὺς πάλαι τῶν Αἰγυπτίων τὰς τῶν μεγάλων ἀνδρῶν σοροὺς, ἢ καὶ τὰς τῶν οἰκείων κατ' ἀρέσκειαν, ἀργίλλῳ ὁμοίῳ κατὰ πάντα πρὸς τὸ πρωτότυπον, καὶ φυλάττειν αὐτὰ ἐν ταῖς οἰκίαις, καθὰ καὶ παρ' ἡμῖν τοῦτο σύνηθές ἐστι, τὸ ἔχειν δηλονότι τὰς εἰκόνας πολλῶν ἐνδόξων ἀνδρῶν ἢ καὶ τῶν οἰκείων. Οἱ δὲ τὰ τοιαῦτα ποιοῦντες ἐκαλοῦντο ΒΙΘΑΡΕ, ἤτοι πλάσται σορῶν· οἱ δὲ ἐμπορεύομενοι αὐτὰ ΒΑΘΑΝΑΧΕ, ἤγουν ἀπομιμημάτων ἔμποροι. Ὅθεν ἅπαντα τὰ Αἰγυπτιακὰ λείψανα μικρά τε καὶ μεγάλα, κομψά τε καὶ μὴ, ἂν πολλὰ τούτων τὰ τῆς Εὐρώπης κατακοσμοῦσι Μουσεῖα,

πολλὰ περιέχουσι χρήσιμα καὶ μεγάλως ὠφελήσουσιν ἡμᾶς εἴ περ ὀρθῶς ἑρμηνευθῶσιν. Ἐπειδή περ τὰ μὲν τούτων ἠθικὴν διδάσκουσι, τὰ δὲ ἱστορίαν ἰδικήν τε καὶ γενικὴν περιέχουσι, τὰ δὲ θεολογίαν μύθοις ἱστορικοῖς μεμιγμένην, τὰ δὲ πολιτικοὺς ἐθισμούς τε καὶ θεσμούς, ὥστε οὐδὲν περιφρονητέον κἂν σμικρότατον ᾖ· ἀπόδειξις δ' ἔστω ἡμῖν ἤδη τὰ προερμηνευθέντα.

Καὶ ταῦτα μὲν περὶ τούτων ἅλις ἐχέτω. Ὅτι δὲ τὰ ἱερογλυφικὰ οὐκ ἔστι γράμματα φωνητικὰ μάρτυς σὺν ἄλλοις πολλοῖς ἀρχαίοις σοφοῖς καὶ ὁ πολυπράγμων Διόδωρος γράφων περὶ τούτου τάδε.

"Περὶ δὲ τῶν Αἰθιοπικῶν γραμμάτων τῶν παρ' Αἰγυπτίοις καλουμένων ἱερογλυφικῶν ῥητέον, ἵνα μηδὲν παραλείπω τῶν ἀρχαιολογουμένων· συμβέβηκε τοίνυν τοὺς μὲν τύπους ὑπάρχειν αὐτῶν ὁμοίους ζώοις παντοδαποῖς καὶ ἀκρωτηρίοις ἀνθρώπων, ἔτι δὲ ὀργάνοις, καὶ μάλιστα τεκτονικοῖς· οὐ γὰρ ἐκ τῆς τῶν συλλαβῶν συνθέσεως ἡ γραμματικὴ παρ' αὐτοῖς τὸν ὑποκείμενον λόγον ἀποδίδωσιν, ἀλλ' ἐξ ἐμφάσεως τῶν μεταγραφομένων, καὶ μεταφορᾶς μνήμῃ συνηθλημένης· γράφουσι γὰρ ἱέρακα καὶ κροκόδειλον, ἔτι δὲ ὄφιν, καὶ ἐκ τοῦ σώματος τῶν ἀνθρώπων ὀφθαλμὸν, καὶ χεῖρα καὶ πρόσωπον, καὶ ἕτερα τοιαῦτα. Ὁ μὲν οὖν ἱέραξ αὐτοῖς σημαίνει πάντα τὰ ὀξέως, γινόμενα, διὰ τὸ τοῦτο τὸ ζῶον τῶν πτηνῶν σχεδὸν ὑπάρχειν ὀξύτατον· μεταφέρεταί τε ὁ λόγος ταῖς οἰκείαις μεταφοραῖς εἰς πάντα τὰ ὀξέα καὶ τὰ τούτοις οἰκεῖα παραπλησίως τοῖς εἰρημένοις· ὁ δὲ κροκόδειλος σημαντικός ἐστι πάσης κακίας· ὁ δὲ ὀφθαλμὸς δίκης τηρητὴς καὶ παντὸς τοῦ σώματος φύλαξ· τῶν δὲ ἀκρωτηρίων ἡ μὲν δεξιὰ τοὺς δακτύλους ἐκτεταμένους ἔχουσα σημαίνει βίου πορισμὸν, ἡ δὲ εὐώνυμος συνηγμένη τήρησιν καὶ φυλακὴν χρημάτων· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ

τῶν ἄλλων ἁπάντων· ταῖς γὰρ ἐν ἑκάστοις ἐνούσαις ἐμφάσεσι συνακολουθοῦντες τὰς ψυχὰς, ἐκτικῶς ἕκαστα τῶν γεγραμμένων ἀναγινώσκουσι." (Βιβλ. Γ' § 4.).

Πρὸς τοῖς τοῦ Διοδώρου δὲ εἰρημένοις κείσθω καὶ ὅσα περ ὁ ἱερὸς Κλήμης περὶ τῆς ἐν Σάϊδι τῆς Αἰγύπτου ἐπιγραφῆς φησιν. Ἔχει δὲ τὰ τῆς λέξεως ἐκείνου ᾧδε·

. . . . "Ναὶ μὴν καὶ ἐν Διοσπόλει τῆς Αἰγύπτου ἐπὶ τοῦ ἱεροῦ καλουμένου πυλῶνος διετετύπωται παιδίον μὲν γεννέσεως σύμβολον, φθορᾶς δὲ ὁ γέρων, Θεοῦ τε αὖ ὁ ἱέραξ, ὡς ὁ ἰχθὺς μίσους, καὶ κατ' ἄλλο πάλιν σημαινόμενον ὁ κροκόδειλος ἀναιδείας. Φαίνεται τοίνυν συντιθέμενον τὸ πᾶν σύμβολον, δηλωτικὸν εἶναι τοῦδε. Ὦ γινόμενοι καὶ ἀπογινόμενοι Θεὸς μισεῖ ἀναίδειαν." (ὅρα ἐν τῷ τῶν Στρωματέων λόγῳ ε'.)

Συμφάσκει δὲ τῷ Κλήμεντι καὶ Πλούταρχος περὶ τούτου τάδε λέγων.

"Ἐν Σάϊ γοῦν ἐν τῷ προπύλῳ τοῦ ἱεροῦ τῆς Ἀθηνᾶς ἦν γεγλυμμένον βρέφος, γέρων, καὶ μετὰ τοῦτο ἱέραξ, ἐφ' ἑξῆς δὲ ἰχθὺς, ἐπὶ πᾶσι δὲ ἵππος ποτάμιος· ἐδήλου δὲ συμβολικῶς, 'Ὦ γινόμενοι καὶ ἀπογινόμενοι ὁ Θεὸς μισεῖ τὴν ἀναίδειαν.' Βρέφει γὰρ καὶ γέροντι τοὺς γινομένους καὶ ἀπογινομένους σημαίνουσιν· ἱέρακι δὲ τὸν θεὸν φράζουσιν, ἰχθύϊ μῖσος ὥς περ εἴρηται διὰ τὴν θάλασσαν, ἵππῳ ποταμίῳ δ' ἀναίδειαν,[6] λέγεται γὰρ ἀποκτείνας τὸν πατέρα τῇ μητρὶ βίᾳ μίγνυσθαι." (ὅρα ἐν τῷ περὶ Ἴσιδος καὶ Ὀσίριδος Βιβλίῳ § 32).

[6] Οὐ μόνον ἵππῳ ποταμίῳ τὴν ἀναίδειαν Αἰγύπτιοι σημαίνουσιν, ἀλλὰ καὶ τῇ τοῦ κροκοδείλου γραφῇ, ὥς περ ὁ ἱερὸς Κλήμης φησὶ, καὶ ὁ Ὡραπόλλων ἐν τῇ τῶν ἱερογλυφικῶν δεκαβίβλῳ αὐτοῦ συγγραφῇ, καὶ ἐπὶ τούτοις Χαιρήμων καὶ Χένωφις καὶ ἄλλοι τῶν Αἰγυπτίων σοφοί.

Καὶ ταῦτα καὶ τὰ τοῦ Πλουτάρχου, παραλείπω δὲ καὶ ἄλλων ἄλλα πλεῖστα ὅσα τεκμήρια Ὡραπόλλωνός φημι, καὶ Χαιρήμονος καὶ Χενώφεως καὶ ἄλλων, τεκμαιρόμενα τὰ προλεχθέντα πάντα, ὅτι καὶ ταῦτα ἀρκοῦσι σωφρονῆσαι τοὺς εἰπόντας εἶναι τὰ πέντε σύμβολα τὰ ἐπὶ τοῦ ἱεροῦ πυλῶνος τοῦ ναοῦ τῆς Ἀθηνᾶς τοῦ ἐν Διοσπόλει τε καὶ Σάϊ ὀνόματος Κυρίου σημαντικὸν τοῦ δε· ἸΕΩ΄Χ!!!

Ἐκ πάντων τοίνυν τούτων βεβαιούμεθα καθόλου, ὡς τὰ ἱερογλυφικά ἐστι συμβολικὰ γράμματα, πολλὰς ἐννοίας κρύπτοντα. Οἱ δὲ λέγοντες γράμματα εἶναι Α, Β, Γ, Δ, Ε, κ.τ.λ. οὐκ ὀρθῶς λέγουσιν. Ὑπάρχει δὲ καὶ γράμματα παρ᾽ Αἰγυπτίοις, τὰ δημώδη προσαγορευόμενα, φωνὴν γραμμάτων ἔχοντα καὶ σχηματισμόν· ἀλλὰ ταῦτα καθ᾽ ὃ γράμματα ὄντα πολὺ διαφέρει τῶν ἱερογλυφικῶν· καὶ μάρτυς αὖθις ὁ αὐτὸς Διόδωρος γράφων τάδε·

.... "Διττῶν γὰρ Αἰγυπτίοις ὄντων γραμμάτων τὰ μὲν δημώδη προσαγορευόμενα (τὰ καὶ ἐπιστολογραφικὰ ὑπὸ τοῦ Κλήμεντος καὶ τοῦ Πορφυρίου λεγόμενα) πάντας μανθάνειν, τὰ δὲ ἱερὰ καλούμενα παρὰ μὲν τοῖς Αἰγυπτίοις μόνους γινώσκειν τοὺς ἱερεῖς παρὰ τῶν πατέρων ἐν ἀποῤῥήτοις μανθάνοντες."

Πάντες οὖν διττὰ καὶ ἀπόῤῥητα λέγουσι· "Διφασίοισι δὲ γράμμασι χρέωνταί (φησιν ὁ Ἡρόδοτος)· καὶ τὰ μὲν ἱρά· τὰ δὲ δημωτικὰ καλέεται" (Βιβλ. Β΄. § 36)· καὶ οὐδεὶς τούτων εἶπε, τὸν ἀετὸν εἶναι ἄλφα! τὸ ἀγγεῖον εἶναι βῆτα! τὴν χεῖρα εἶναι ταῦ! ἢ δέλτα! ἢ ἄλφα! τὸν πέλεκυν εἶναι κάππα! τὸν λέοντα εἶναι λάμβδα! ἢ ῥό! τὸν νυκτοκόρακα εἶναι μῖ! τὸ στόμα εἶναι ῥό! ἢ λάμβδα! τὸν ὀφθαλμὸν εἶναι ἄλφα! ἢ ἰῶτα! ἢ ὄμικρον! Διάφορα

γὰρ πάντῃ τούτων φασὶν οἱ ἐν ἔτεσι πολλοῖς διατρίψαντες, ἐν Αἰγύπτῳ σοφώτατοι τῶν Ἑλλήνων καὶ οἱ τῶν Αἰγυπτίων αὐτοὶ, ἐν ᾗ, καθ᾽ ὃν μάλιστα χρόνον, ἡ γλῶσσα τῶν Αἰγυπτίων ἤκμαζε καὶ τὰ ἱερογλυφικὰ καλῶς ἐγιγνώσκοντο, ἀναγινωσκόμενά τε καὶ γραφόμενα. Περὶ δὲ πάντων τούτων ἐν τῇ κατὰ πλάτος "περὶ τῶν ἱερογλυφικῶν πραγματείᾳ, ἡμῶν ἐγράψαμεν διεξοδικῶς, ἥν περ μάλιστα καὶ ταχαίως τῷ τύπῳ διαδώσομεν τοῖς ἀνθρώποις.

Καὶ ταῦτα μὲν δὴ ταῦτα περὶ πάντων ἐν συνόψει, καὶ ἰδίως περὶ τῶν πρὸς χάριν σου ἑρμηνευθέντων πέντε Αἰγυπτιακῶν λειψάνων τῶν καὶ λίαν ἐνδιαφερόντων τὴν τοῦ ἔθνους ἐκείνου ἱστορίαν. Περὶ δὲ τῶν λοιπῶν οὐδὲν λέγω σοι ἐπὶ τοῦ παρόντος, ὅτι πολλά ἐστι τὸν ἀριθμόν. Ἐρῶ σοι δὲ μόνον, ὡς ἔστι τὰ πάντα λίαν περίεργα καὶ τὰ μάλιστα χρήσιμα διὰ τὰ ἐν αὐτοῖς περιεχόμενα. Ἑρμηνεύσω δὲ καὶ ταῦτα πάντα ἐν πλάτει, καὶ τὰς προσηκούσας τῇ ἑρμηνείᾳ ἱστορικὰς μαρτυρίας ὑποτάξω αὐτῇ, ἐπὰν εὐκαιρίας τύχω. Οἶδας γὰρ ὅτι καὶ καιροῦ πολλοῦ δεῖται καὶ ἡσυχίας οὐ σμικρᾶς.

Σὺ δὲ, ὦ φίλτατε, δέχου ἤδη τὰ παρόντα ὡς φιλίας ἐλάχιστον τεκμήριον, ἅμα δὲ καὶ τὴν φιλικὴν ἐγκάρδιόν μου προθυμίαν, καὶ πρόσταξε ἐλευθέρως τὸν σὸν Σιμωνίδην· ἕτοιμος γὰρ εἰμὶ, ἵνα ὑπὲρ τῆς ἐπιστήμης τῆς τὴν ἀνθρωπότητα καθ᾽ ἑκάστην εὐεργετούσης ποιήσω πᾶν ὅτι δύναμαι. Ἔρρωσο.

*Ἔγραφον ἐν Λιβερπούλῃ τῇ πρώτῃ μεσοῦντος μηνὸς Φεβρουαρίου τοῦ ἔτους ᾳΩΞου.*

## ΠΑΡΟΡΑΜΑΤΑ.

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| Ἐν σελίδι | 1 | στίχῳ | 23, | γράφε | μουσηγέτου. |
| „ | 4 | „ | 32, | „ | αὐτοῦ. |
| „ | 6 | „ | 11, | „ | τοῖς μᾶλλον εἰδήμοσι. |
| „ | 7 | „ | 17, | „ | δρωμένων. |
| „ | 10 | „ | 20, | „ | Θεόν. |
| „ | 11 | „ | 28, | „ | Πᾶνα. |
| „ | 16 | „ | 25, | „ | ἑαυτῶν. |
| „ | 24 | „ | 33, | „ | Ἰῶτα. |

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000020396

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ